Ακαδημία Αθηνών / Academy of Athens



**πλεονεξία 1** (ἀντίθ. *ἰσότας*). Πλειονοκτησία, larger possession than one's share, Ἀρχύτας 3.8 *π λ ε ο ν ε ξ ί α τε γὰρ οὐκ ἔστι τούτου γενομένου καὶ ἰσότας ἔστιν* **2.** Πλεονεξία/ἀπληστία, greediness/greed, Δημόκριτος 86 *π λ ε ο ν ε ξ ί η τὸ πάντα λέγειν, μηδὲν δὲ ἐθέλειν ἀκούειν.*

**πλευρόν.** Πλευρό, rib/side, Διογένης 6.26 *σχίζονται δὲ καὶ ἐπὶ τὴν κοιλίαν καὶ τὸ π λ ε υ ρ ὸ ν πολλαὶ ἀπ' αὐτῶν καὶ λεπταὶ φλέβες.*

**πλέως** (τύπ. *πλέος*, συνών. *ἔμπλεος, ναστός*, ἀντίθ. *κενός*). Πλήρης/γεμάτος, full, Παρμενίδης 9.3 *πᾶν π λ έ ο ν ἐστὶν ὁμοῦ φάεος καὶ νυκτὸς ἀφάντου ἴσων ἀμφοτέρων, ἐπεὶ οὐδετέρῳ μέτα μηδὲν* Μέλισσος 7(7)-(8)-(9)-(10) *οὐδὲ κινεῖται· ὑποχωρῆσαι γὰρ οὐκ ἔχει οὐδαμῇ, ἀλλὰ π λ έ ω ν ἐστὶν ... πυκνὸν δὲ καὶ ἀραιὸν οὐκ ἂν εἴη. τὸ γὰρ ἀραιὸν οὐκ ἀνυστὸν π λ έ ω ν εἶναι ὁμοίως τῷ πυκνῷ ... κρίσιν δὲ ταύτην χρὴ ποιήσασθαι τοῦ π λ έ ω καὶ τοῦ μὴ π λ έ ω· εἰ μὲν οὖν χωρεῖ τι ἢ εἰσδέχεται, οὐ π λ έ ω ν· εἰ δὲ μήτε χωρεῖ μήτε εἰσδέχεται, π λ έ ω ν ... ἀνάγκη τοίνυν π λ έ ω ν εἶναι, εἰ κενὸν μὴ ἔστιν. εἰ τοίνυν π λ έ ω ν ἐστίν, οὐ κινεῖται.* || Διογένης 10 τὸ δὲ *π λ ῆ* εἰρημένον παρὰ Διογένει τῷ Ἀπολλωνιάτῃ ἀντὶ τοῦ πλέη θηλυκοῦ ἐπιθετικῶς ἄγνωστον τοῖς ἄλλοις.

**πληγή** (τύπ. *πλαγά*) **1.** Πλῆγμα/κτύπημα, wound/blow, Ἡράκλειτος 11 *πᾶν γὰρ ἑρπετὸν π λ η γ ῇ νέμεται* **2.** Πλῆγμα/κρούση, blow/strike, Ἀρχύτας 1.12-19-25-28 *οὐ δυνατόν ἐστιν ἦμεν ψόφον μὴ γενηθείσας π λ η γ ᾶ ς τινων ποτ' ἄλλαλα. π λ α γ ὰ ν δ' ἔφαν γίνεσθαι, ὅκκα τὰ φερόμενα ἀπαντιάξαντα ἀλλάλοις συμπέτῃ ... πολλοὺς μὲν δὴ αὐτῶν* (sc. *τῶν ψόφων*) *οὐκ εἶναι ἁμῶν τᾷ φύσει οἵους τε γινώσκεσθαι, τοὺς μὲν διὰ τὰν ἀσθένειαν τᾶς π λ α γ ᾶ ς, τοὺς δὲ διὰ τὸ μᾶκος τᾶς ἀφ' ἁμῶν ἀποστάσιος, τινὰς δὲ καὶ διὰ τὰν ὑπερβολὰν τοῦ μεγέθεος ... τὰ μὲν οὖν ποτιπίπτοντα ποτὶ τὰν αἴσθασιν ἃ μὲν ἀπὸ τᾶν π λ α γ ᾶ ν ταχὺ παραγίνεται καὶ* ⟨*ἰσχυρῶς*⟩, *ὀξέα φαίνεται, τὰ δὲ βραδέως καὶ ἀσθενῶς, βαρέα δοκοῦντι ἦμεν. αἱ γάρ τις ῥάβδον λαβὼν κινοῖ νωθρῶς τε καὶ ἀσθενέως, τᾷ π λ α γ ᾷ βαρὺν ποιήσει τὸν ψόφον.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ